ζουσιν, ἀλλὰ καὶ οἷς εὐφραινόμεθα; ⁋ Πάνυ, ἔφη,
καὶ ταῦτα φιλάνθρωπα. ⁋ Τὸ δὲ καὶ ὕδωρ ἡμῖν 6
παρέχειν οὕτω πολλοῦ ἄξιον, ὥστε καὶ φύειν τε καὶ
συναύξειν τῇ γῇ καὶ ταῖς ὥραις πάντα τὰ χρήσιμα
ἡμῖν, συντρέφειν δὲ καὶ αὐτοὺς ἡμᾶς, καὶ μιγνύμενον
πᾶσι τοῖς τρέφουσιν ἡμᾶς, εὐκατεργαστότερά τε καὶ
ὠφελιμώτερα καὶ ἡδίω ποιεῖν αὐτά· καὶ, ἐπειδὴ πλεί-
στου δεόμεθα τούτου, ἀφθονέστατον αὐτὸ παρέχειν
ἡμῖν; ⁋ Καὶ τοῦτο, ἔφη, προνοητικόν. ⁋ Τὸ δὲ 7
καὶ τὸ πῦρ πορίσαι ἡμῖν, ἐπίκουρον μὲν ψύχους, ἐπί-
κουρον δὲ σκότους, συνεργὸν δὲ πρὸς πᾶσαν τέχνην καὶ
πάντα ὅσα ὠφελείας ἕνεκα ἄνθρωποι κατασκευάζον-
ται; ὡς γὰρ συνελόντι εἰπεῖν, οὐδὲν ἀξιόλογον ἄνευ
πυρὸς ἄνθρωποι τῶν πρὸς τὸν βίον χρησίμων κατα-
σκευάζονται. ⁋ Ὑπερβάλλει, ἔφη, καὶ τοῦτο φιλαν-
θρωπίᾳ. ⁋ Τὸ δὲ καὶ ἀέρα ἡμῖν ἀφθόνως οὕτω 8
πανταχοῦ διαχύσαι, οὐ μόνον πρόμαχον καὶ σύντρο-
φον ζωῆς, ἀλλὰ καὶ πελάγη περᾶν δι᾽ αὐτοῦ καὶ τὰ
ἐπιτήδεια ἄλλος ἀλλαχόθι καὶ ἐν ἀλλοδαπῇ στελ-
λόμενος πορίζεσθαι, πῶς οὐχ ὑπὲρ λόγον; ἀνέκφρα-
στον.* Τὸ δὲ τὸν ἥλιον, ἐπειδὰν ἐν χειμῶνι τράπη-

 ται,

§. 6. τὸ δὲ καὶ ὕδωρ] Vatic. I et Flor. E omiſit καὶ.

φύειν] Pro vulgato φυτεύειν, quod non magis ferri poteſt quam Reiskianum συμφυτεύειν, recepi lectionem Brodaei, quam quoque in libro aliquo ſe reperiſſe teſtatur Leonclauius. Ergo coniectura Salgaſii συμφύειν non eſt opus.

χρήσιμα. ἡμῖν] Χρ. εἶναι Florent. A.; in Flor. E deeſt articulus ante χρ. Ceterum omnes Vatic. et Florentini libri in φυτεύειν conſentiunt. Deinceps Vatic. I et Flor. E ὠφελιμώτερα τε ποιεῖν ταῦτα καὶ ἡδίω.

§. 7. ἔφη] Abeſt a Iunt.

§. 8. τὸ δὲ καὶ ἀέρα — ἀνέκφραστον] Haec verba, quae ſervauit codex Meermanni, cum Ruhnkenio, Erneſto, et Schützio genuina puto. Nam Ruhnkenius recte notauit, vulgo excidiſſe illa propterea, quod oculi librarii ab altero τὸ δὲ ad alterum aberrauerint: atque Aelianum, qui plura ex hoc Xenophontis loco expreſſerit, apud Suid. v. Ἀρίσταρχος Τεγ. hinc laudare, καὶ ἀέρος σπᾶν, καὶ ἔχειν τροφὴν ζωῆς τὸ ἐξ αὐτοῦ πνεῦμα. Cicero quoque N. D. II, 39, inter res caeteras, vnde prouidentia diuina appareat, numerat aërem. Caeterum largior, hunc locum eſſe corruptum. Valkenarius quidem emendat, καὶ τὰ ἐπιτήδεια ἄλλον ἄλλοσέ πῃ στελλόμενον ἐν ἀλλοδαπῇ πορίζεσθαι: Schlitzius, οὐ μόνον πρόμαχον, ἀλλὰ καὶ σύντροφον ζωῆς, ὥστε καὶ πελάγη περᾶν δι᾽ αὐτοῦ, καὶ τὰ ἐπιτήδεια ἄλλους ἄλλοις ἀλ-

λαχόθεν

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id375455116/273
gefördert von der Deutschen Forschungsgemeinschaft